Pausan. III, 25, 5: *Ἐποίησαν δὲ Ἑλλήνων τινὲς ὡς Ἡρακλῆς ἀναγάγοι ταύτῃ τοῦ Ἅιδου τὸν κύνα, οὔτε ὑπὸ γῆν ὁδοῦ διὰ τοῦ σπηλαίου φερούσης, οὔτε ἕτοιμον ὂν πεισθῆναι θεῶν ὑπόγαιον εἶναί τινα οἴκησιν, ἐς ἣν ἀθροίζεσθαι τὰς ψυχάς. ἀλλὰ Ἑκαταῖος μὲν ὁ Μιλήσιος λόγον εὗρεν εἰκότα,* »*ὄφιν φήσας ἐπὶ Ταινάρῳ τραφῆναι δεινόν, κληθῆναι δὲ Ἅιδου κύνα, ὅτι ἔδει τὸν δηχθέντα τεθνάναι παραυτίκα ὑπὸ τοῦ ἰοῦ· καὶ τοῦτον ἔφη τὸν ὄφιν ὑπὸ Ἡρακλέους ἀχθῆναι παρ' Εὐρυσθέα.*« Cr. p. 47 sq.

347.

Aelian. Histor. Animal. IX, 23: *Τὴν μὲν ὕδραν τὴν Λερναίαν, τὸν ἆθλον τὸν Ἡράκλειον, ᾀδέτωσαν ποιηταὶ καὶ μύθων ἀρχαίων συνθέται, ὧνπερ οὖν καὶ Ἑκαταῖος ὁ λογοποιός ἐστιν.* Cr. p. 49.

348.

Strab. VIII, p. 524: *Ἑκαταῖος δ' ὁ Μιλήσιος ἑτέρους λέγει τῶν Ἠλείων τοὺς Ἐπειούς·* »*τῷ γοῦν Ἡρακλεῖ συστρατεῦσαι τοὺς Ἐπειοὺς ἐπὶ Αὐγείαν καὶ συναναιρεῖν αὐτῷ τόν τε Αὐγείαν καὶ τὴν Ἦλιν. φησὶ δὲ καὶ τὴν Δύμην Ἐπειΐδα καὶ Ἀχαΐδα.*« Cr. p. 61. Pertinet ad res, quas in Graecia gessit Hercules, vastatio Oechaliae, de qua dixit Hecataeus, cf. fr. 106.

349.

Arrian. Exped. Alexandr. II, 16: »*Γηρυόνην δέ, ἐφ' ὅντινα ὁ Ἀργεῖος Ἡρακλῆς ἐστάλη πρὸς Εὐρυσθέως, τὰς βοῦς ἐπελάσαι τὰς Γηρυόνου καὶ ἀγαγεῖν ἐς Μυκήνας, οὐδέν τι προσήκειν τῇ γῇ τῶν Ἰβήρων,*«

Ἑκαταῖος ὁ λογοποιὸς λέγει, »οὐδὲ ἐπὶ νῆσόν τινα Ἐρύθειαν ἔξω τῆς μεγάλης θαλάσσης σταλῆναι Ἡρακλέα· ἀλλὰ τῆς ἠπείρου τῆς περὶ Ἀμβρακίαν τε καὶ Ἀμφιλόχους βασιλέα γενέσθαι Γηρυόνην καὶ ἐκ τῆς ἠπείρου ταύτης ἀπελάσαι Ἡρακλέα τὰς βοῦς, οὐδὲ τοῦτον φαῦλον ἆθλον τιθέμενον.« Cr. p. 50 sq. Cf. Scyl. (26.) Patet ex ipsis verbis mare mediterraneum ab Hecataeo dictum esse τὴν μεγάλην θάλασσαν, nam neque quisquam, qui insulam putabat Erythiam, eam ab Oceano removebat, neque voce ἔξω e communi antiquorum usu alii fines designati esse possunt, quam columnae Herculis. Quis vero homo Graecus, vel qui pro ingenti mari habuisset Oceanum, unquam extra hoc pelagus mare mediterraneum situm esse dixisset? Patet igitur, omnia illa maria, quae sinus habebantur fluminis Oceani, mari mediterraneo minora existimavisse Hecataeum.

350.

Steph. Byz. Χαδισία, πόλις Λευκοσύρων. Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ· »ἡ δὲ Θεμισκύρη πεδίον ἐστὶν ἀπὸ Χαδισίης μέχρι Θερμώδοντος.« Cr. p. 81. Cf. fr. 194, 195.

351.

Schol. Apoll. Rhod. II, 1003, de Amazonibus: Χαδησίας δὲ αὐτὰς εἶπεν Ἑκαταῖος, ἀπὸ τοῦ χαδῆσαι. Quod idem scholiasta ad v. 373 de triplici Amazonum tribui Themiscyriis, Lycastiis, Chadesiis annotavit, attulit Creuzerus p. 80.

352.

Schol. Apoll. Rhod. II, 948: Narraverat Andro Teius Amazonem quandam vino assuetam appellatam esse Sanapen, ex qua ab Apolline Syrum genitum esse narraverit Philostephanus: *ἐπεὶ δὲ οἱ μέθυσοι Σανάπαι λέγονται παρὰ Θραξὶν (ᾗ διαλέκτῳ χρῶνται καὶ Ἀμαζόνες) κληθῆναι τὴν πόλιν· ἔπειτα κατὰ φθορὰν Σινώπη· »ἡ δὲ μέθυσος Ἀμαζὼν ἐκ τῆς πόλεως παρε»γένετο πρὸς Λυτίδαν.« ὥς φησιν Ἑκαταῖος.* Cr. p. 81.

353.

Longin. *περὶ ὕψους* c. 27: *ἔτι γε μὴν ἔσθ' ὅτε περὶ προςώπου διηγούμενος ὁ συγγραφεὺς, ἐξαιφνῆς παρενεχθεὶς εἰς τὸ αὐτὸ πρόςωπον ἀντιμεθίσταται. --- Διὸ καὶ ἡ πρόχρησις τοῦ σχήματος τότε ἡνίκα ὀξὺς ὁ καιρὸς ὢν διαμέλλειν τῷ γράφοντι μὴ διδῷ, ἀλλ' εὐθὺς ἐπαναγκάζῃ μεταβαίνειν ἐκ προςώπων εἰς πρόςωπα· ὡς καὶ παρὰ τῷ Ἑκαταίῳ. »Κῆυξ δὲ ταῦτα δεινὰ ποιού»μενος, αὐτίκα ἐκέλευε τοὺς Ἡρακλείδας ἐπιγόνους ἐκ»χωρεῖν. Οὐ γὰρ ὑμῖν δυνατός εἰμι ἀρήγειν· ὡς μὴ ὦν »αὐτοί τε ἀπόλησθε κἀμὲ τρώσητε, ἐς ἄλλον τινὰ δῆ»μον ἀποίχεσθαι.«* Ionismum restituit Creuzerus (p. 54), qui non bene omisit *ἐπιγόνους.* Videtur in iis, quae antecesserunt, sermo fuisse de Hercule, cuius *ἐπίγονοι* sunt Heraclidae. Notum est Eurystheum bellum Ceyci esse minatum: Apollod. II, 8, init.

354.

Harpocration. *Ἀδελφίζειν, ἀντὶ τοῦ ἀδελφὸν καλεῖν, παρ' Ἰσοκράτους ἐν Αἰγινητικῷ καὶ Ἑκαταίῳ*

τῷ Μιλησίῳ ἐν δευτέρῳ ἡρωελεγείῳ. — Zonar. Ἀδελφίζειν ἀντὶ τοῦ ἀδελφὸν καλεῖν· οὕτως Ἰσοκράτης καὶ ὁ Μιλήσιος Ἑκαταῖος καὶ Ἀπολλοφάνης ἐχρήσαντο. — Suid. Ἀδελφειός--- καὶ ἀδελφίζειν ἀντὶ τοῦ ἀδελφὸν καλεῖν. οὕτως Ἰσοκράτης καὶ ὁ Μιλήσιος Ἑκαταῖος. Mirum est, si quis in loco Harpocrationis vocem ἡρωελεγείῳ tuetur, quae in aetate Hecataei Milesii ne excogitari quidem potuit. Emendandum est sive γενεαλογιῶν, quod G. I. Vossius (de hist. Gr. p. 439), sive ἡρωικῶν γενεαλογιῶν, quod Sevinius proposuit, sive ἡρώων γενεαλογιῶν, vel tale quid. Cr. p. 76.

LIBER TERTIUS.

355.

Athenae. IV, p. 148: Ἀρκαδικὸν δὲ δεῖπνον διαγράφων ὁ Μιλήσιος Ἑκαταῖος ἐν τῇ τρίτῃ τῶν Γενεαλογιῶν »μᾶζάς φησιν εἶναι καὶ ὕεια κρέα.« Cr. p. 65. De ratione qua res narratae in hoc libro descriptae fuerint, conferas fr. 361.

356.

Strab. VII, p. 494: Ἑκαταῖος μὲν οὖν ὁ Μιλήσιος περὶ τῆς Πελοποννήσου φησὶν, ὅτι πρὸ τῶν Ἑλλήνων ᾤκησαν αὐτὴν βάρβαροι. σχεδὸν δέ τι καὶ ἡ σύμπασα Ἑλλὰς κατοικία βαρβάρων ὑπῆρξε τὸ παλαιὸν, ἀπ' αὐτῶν λογιζομένοις τῶν μνημονευομένων. Cr. p. 71.

357.

Schol. Eurip. Orest. 869: ἡ πολλὴ δόξα κατέχει μὴ ἐλθεῖν τὸν Αἴγυπτον εἰς Ἄργος, καθάπερ ἄλλοι τε

φασὶ καὶ Ἑκαταῖος γράφων οὕτως· »ὁ δὲ Αἴγυπτος αὐ»τὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργος· λέγεται δέ τις ἐν Ἄργει »πρὼν, ὅπου δικάζουσιν Ἀργεῖοι.« Cr. p. 70. Iudicium, cuius meminit, Danaus coram Argivorum populo de Hypermnestra instituit: ipse accusator, iudicibus Argivis, qui absolverunt Hypermnestram: Paus. II, 19, 6; 20, 7; 21, 1.

358.

Ael. Herodian. περὶ μονήρ. λέξεως I, p. 8 (Ddf.). Ἀθηνᾶ: -- καὶ ἡ Δανᾶ οὕτως εἴρηται παρ' Ἑκαταίῳ· »τῇ Δανᾷ μίσγεται Ζεύς.« Cf. fr. 254.

359.

Iul. Poll. Onomast. I, 5, 50: Τὸ δὲ Χειρογάστορες Ἑκαταῖος λεγέτω. Probabile est, quod Creuzerus (p. 71 sq.) existimavit, ad hoc referendum esse locum Strabonis VIII, p. 572: »τῇ μὲν οὖν Τίρυνθι ὁρμητηρίῳ χρήσασθαι δοκεῖ Προῖτος καὶ τειχίσαι διὰ Κυκλώπων· οὓς ἕπτα μὲν εἶναι, καλεῖσθαι δὲ γαστεροχείρας, τρεφομένους ἐκ τῆς τέχνης· ἥκειν δὲ μεταπέμπτους ἐκ Λυκίας· καὶ ἴσως τὰ σπήλαια τὰ περὶ τὴν Ναυπλίαν καὶ τὰ ἐν αὐτοῖς ἔργα τούτων ἐπώνυμά ἐστιν.

360.

Schol. Venet. Hom. Iliad. XV, 302. ed. Villoison: ὁ δὲ Σοφοκλῆς ἰσοσυλλάβως· Μύνου τ' Ἐπιστρόφου γε, Μύκητά τε καὶ Μύκην, εἰ τὰ πολλὰ σημαίνει ἡ λέξις, καὶ ὅτι οὐ τὸ μέτρον αἴτιόν ἐστι, δῆλός ἐστιν Ἑκαταῖος

οὕτω κλίνας, φησὶ γάρ· »καὶ ἐπαφήσας τὸν κολεὸν τοῦ ξίφεος, τὸν μυκῆν εὗρεν ἀποπεπτωκότα.« Mycenae iussu Mercurii nomen acceperunt *ἀπὸ μύκητος τοῦ ξίφους, ὃ ἐφόρει Περσεύς.* Cf. Cr. p. 77 sq.

361.

Bekker. Anecd. I, p. 783: »*Τῶν στοιχείων εὑρέτην« ἄλλοι τε καὶ Ἔφορος Κάδμον λέγουσι. ἐπιμαρτυροῦσι τούτοις καὶ οἱ Μιλησιακοὶ συγγραφεῖς Ἀναξίμανδρος καὶ Διονύσιος καὶ Ἑκαταῖος, οὓς καὶ Ἀπολλόδωρος ἐν νεῶν καταλόγῳ παρατίθεται.* Cum tertius Genealogiarum liber uno tantum loco, in rebus Arcadicis, citetur, incertum est, num recte ei haec fragmenta tribuerim. Cum vero quae de Deucalionidis dicenda erant, sane suffecerint explendo libro primo, neque hoc magis quam Herculis et Heraclidarum res libro secundo, probabile videtur, res Peloponnesiacas tertio fuisse assignatas. Quorum principium optime tenent res Arcadum, quas ibi tractatas esse scimus (fr. 355): praeterea de omnibus Peloponnesi incolis dictum esse probabile est (fr. 356): deinde de regia stirpe Argivorum, quae ab Inacho et Io oriunda erat, et in hac de Aegypto et Danao (fr. 357), de Danae (fr. 358), de Proeto (fr. 359), de Perseo (fr. 360). Ab Io puella etiam Cadmus, filius Agenoris, quem Neptunus e Libya, Epaphi filia, genuit, originem repetebat: itaque transeundum erat ad hunc eiusque res in Boeotia gestas. Ibique eum propter viciniam res Atheniensium tractavisse Tyrsenorumque Pelasgorum mentionem fecisse, putari potest (fr. 362)

quamquam nullum ego habeo, quo hoc probem, argumentum.

362.

Herod. VI, 137: *Πελασγοὶ, ἐπεί τε ἐκτὸς Ἀττικῆς ὑπὸ Ἀθηναίων ἐξελάθησαν, εἴτε ὦν δὴ δικαίως εἴτε ἀδίκως, τοῦτο γὰρ οὐκ ἔχω φράσαι, πλὴν τὰ λεγόμενα, ὅτι Ἑκαταῖος μὲν ὁ Ἡγησάνδρου ἔφησε ἐν τοῖσι λόγοισι λέγων ἀδίκως· »ἐπεί τε γὰρ ἰδεῖν τοὺς Ἀθηναίους τὴν χώρην, τήν σφισι ὑπὸ τὸν Ὑμησσον ἔδοσαν οἰκῆσαι, μίσθον τοῦ τείχεος τοῦ περὶ τὴν ἀκρόπολιν τότε ἐληλαμένου· ταύτην ὡς ἰδεῖν τοὺς Ἀθηναίους ἐξεργασμένην εὖ, τὴν πρότερον εἶναι κακήν τε καὶ τοῦ μηδενὸς ἀξίην, λαβεῖν φθόνον τε καὶ ἵμερον τῆς γῆς, καὶ οὕτω ἐξελαύνειν αὐτοὺς οὐδεμίην ἄλλην πρόφασιν προισχομένους τοὺς Ἀθηναίους.« ὡς δὲ αὐτοὶ Ἀθηναῖοι λέγουσι δικαίως ἐξελάσαι.* Sequitur narratio de protervitate Pelasgorum, qui ad Hymettum habitantes vi puellas Atticas quotidie aquatum ad Enneacrunum fontem venientes compresserint, quibus expositis ita finem facit Herodotus: *ἐκεῖνα μὲν δὴ Ἑκαταῖος ἔλεξε, ταῦτα δὲ Ἀθηναῖοι λέγουσι.* Cr. p. 41.

LIBER QUARTUS.

363.

St. B. *Μύγισοι, πόλις Καρίας, Ἑκαταῖος τετάρτῃ γενεαλογιῶν.*

364.

St. B. *Τρεμίλη --- ἡ Λυκία ἐκαλεῖτο οὕτως - -. Τρεμιλεῖς --- Ἑκαταῖος Τρεμίλας αὐτοὺς καλεῖ ἐν τεταρτῇ γενεαλογιῶν.* De vocabulo Tremilarum cf. Eustath. Il. II, 876, p. 369.

FRAGMENTA INCERTI LOCI.

365.

Ioseph Antiqu. Iud. I, 4: *Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος καὶ Ἀκουσίλαος καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια.* Cr. p. 77. Fortasse hoc ex Abderita desumtum, quo saepius utebatur Iosephus. Tamen probabile est, hoc loco intelligi Milesium, cum inter antiquissimos scriptores recenseatur Hecataeus.

366.

Etymol. m. p. 203: *Γέγειος, ὁ ἀρχαῖος· παρ' Ἑκαταίῳ. Καὶ καλῶν ἦρ' ὅτι τὼς ὁ γέγειος ἔχει λόγος, καὶ· ἤχει γέγεια ἄνθεα μήκωνός τε.* Sunt qui haec verba Hecataeo tribuant. Verisimilius est, id quod alii viderunt, ex Hecataeo desumptam esse solam vocis *γέγειος* mentionem atqui in vocabulo *καλῶν* latere nomen scriptoris alius, fortasse Callimachi. Cr. p. 74.

367.

Etym. m. p. 596: *Μέτασσαι, μεσαίταται. δύναται δὲ καὶ οὕτως ἐπίσσας λέγεσθαι Ἰωνικῶς· παρ' Ἑκα-*

ταίῳ ἔστιν *ἐπίσσαι*, αἱ ἐπιγιγνόμεναι τοῖς προγόνοις. Cr. p. 76.

368.

Schol. Hom. Il. XXIV, 228: Ἀρίσταρχος δέ φησι τὴν *κίβωτον* λέξιν νεωτέραν εἶναι. ἀγνοεῖ δὲ ὅτι καὶ Σιμωνίδης καὶ Ἑκαταῖος μέμνηται αὐτῆς.

369.

Ael. Herodian. π. μον. λέξ. II, p. 39 (Ddf.): Κρέας· παρ' Ἑκαταίῳ ἔστι· »τὰ δέατα περιτετημένοι.« ἀλλ' οὐ συνηθές ἐστι λέγειν δέας. καὶ Σοφοκλῆς ἐν Κηδεμόνι σατυρικῷ φησί· καὶ δή τι καὶ παρεῖκα τῷ ἀρτυμάτῳ ὑπὸ τοῦ δέατος, ἀντὶ τοῦ δέους.

370.

Suid. *Μοιχίδιον*, τὸν ἐκ μοιχοῦ γεγενημένον· οὐχ ὅτι Ἑκαταῖος ἀλλὰ καὶ Ὑπερίδης.

371.

Phrynich. ed. Lobeck. p. 218: *Σκορπίζεται*· Ἑκαταῖος μὲν τοῦτο λέγει Ἴων ὤν· οἱ δ' Ἀττικοὶ σκεδάννυνται φασί.

FRAGMENTA, QUAE FALSE TRIBUUNTUR HECATAEO.

372.

Iudaeos pulsos ex Aegypto averruncandae pestilentiae, quam dii ob sacra neglecta et peregrinorum con-

suetudine vitiata terrae immiserint, a Mose ductos esse in Iudaeam, condidisse Hierosolyma, divisos esse in duodecim tribus, a pontifice gubernatos moribusque et institutis singularibus a reliquis nationibus disparatos vixisse tradidit Diodorus Siculus in medio libro quadragesimo, harumque narrationum testem protulit Hecataeum: *περὶ μὲν τῶν Ἰουδαίων Ἑκαταῖος ὁ Μιλήσιος ταῦτα ἱστόρηκεν.* Phot. Biblioth. p. 380, a, b et 381, a (ed. Bekker.). Neque tamen omnia ea desumpta esse ex Hecataeo sed e recentioribus scriptis permulta addita, inde apparet, quod Macedonici etiam imperii mentionem habet in fine huius descriptionis. Confirmat haec res suspicionem, Diodorum confudisse nomen Milesii Hecataei cum Abderita grammatico Alexandrino, quem de Iudaeis librum scripsisse novimus ex Eusebio. Praepar. Evang. IX, 4, p. 408.

373.

Diod. Sicul. II, 47. Fabula de insula Hyperboreorum. Hanc Abderitae tribuendam esse recte monuit Dindorf. ib. Eodem referendum est, quod annotatum est in Schol. Pind. Ol. III, 28: *ὁ δὲ Φερένικος τοὺς Ὑπερβορέους ἀπὸ τοῦ Τιτανικοῦ γένους φησὶν εἶναι, ὁ δὲ Ἑκαταῖος ἄλλως ἱστορεῖ:* et quod in Schol. Apoll. Rhod. II, 675: *Ἑκαταῖος δὲ μέχρι τοῦ αὐτοῦ χρόνου εἶναί φησι τὸ τῶν Ὑπερβορείων ἔθνος. ἔστι δὲ αὐτῷ βιβλία ἐπιγραφόμενα· Περὶ τῶν Ὑπερβορείων.* De insula illa, cuius meminit Diodorus, dixit etiam Natalis Comes IX, 6, quasi repetita ex Hecataeo Milesio. Cf.

Scriptorum Catalogum, quem operi suo praefixit. Eiusdem libri meminit IX, 15.

374.

Locos Erotiani (Glossar. in Hippocratem): *Κυρβασίαν, τὴν λεγομένην τιάραν· Ἑκαταῖος δέ φησιν, ὅτι πῖλον βαρβαρικὸν οἱ κωμικοὶ λέγουσιν*, et Hesychii: *Ὑπ' αὐνήν· παρ' Ἑκαταίῳ Φιλητᾶς*, quorum alter perobscurus est, tempore Alexandrinorum non esse antiquiora manifestum est.

375.

Natal. Com. IX, 9: Hecataeus Milesius libro secundo Genealogiarum longe aliam tradidit rationem, cur Lycaon et eius filii fuerint, quam explicavit postea Ovidius. Sic enim inquit: *»Πελασγὸς ἦν παῖς Διὸς καὶ »Νιόβης. ᾧ παῖς ἦν Λυκάων ἐκ Μελιβοίης κόρης, εἴτ' »οὖν Κυλλήνης, ὥς φασιν. οὗτος ἔπειτα βασιλεὺς τῶν »Ἀρκάδων καταστὰς κατὰ χρησμόν τινα ἐκ πολλῶν »γάμων πολλοὺς παῖδας λαβὼν αὐτὸς ὢν ἀσεβὴς ἀσεβεῖς »καὶ τοὺς παῖδας προςέλαβεν· ὧν Μαίναλος, Θεσπρωτὸς, »σὺν Νυκτίμῳ καὶ Καύκονι Λύκος, Φθῖνος τε καὶ Τη»λεβόας, Αἵμων, Μαντίνους, Στύμφηλος, Κλείτωρ, Ὀρ»χόμενός τε καὶ ἄλλοι, οἱ πάντες ἀσεβείᾳ καὶ ὑπερη»φανίᾳ ἐνίκων. ὁ δὲ Ζεὺς χερνήτῃ εἰκασθεὶς παραγίνε»ται * αὐτοῖς. ὃν αὐτοὶ καλέσαντες ἐπὶ ξενίᾳ, ἕνα τῶν »ἐγχωρίων παιδαρίων σφάττουσι * καὶ τὰ σπλάγχνα »συμμίξαντες παρέθεντο τῇ τραπέζῃ· τοῦτο δὲ Ζεὺς »ἐγνωκὼς καὶ μυσαχθεὶς τὴν μὲν τράπεζαν ἀνέτρεψεν· »ὅθεν ἐκεῖνος ὁ τόπος Τραπεζεὺς ἐν Ἀρκαδίᾳ καὶ Τρα-*

»πεζοῦς ἡ πόλις καλεῖται· τῶν δὲ Λυκάονος παίδων »ὡς ἀσεβησάντων εἰς ξένον μετ' αὐτοῦ Λυκάονος τοὺς »μὲν εἰς λύκους ἔτρεψε, τοὺς δὲ ἐκεραύνωσε«. Fictum haud dubie est hoc fragmentum a Comite Natali, confectum e loco Tzetzae (Lycophr. 481.): plura enim insunt, quae in brevius redactam arguunt narrationem Tzetzae, qui tamen nihil habet de Hecataeo. Dixit de hac re Heynius (Apollod. p. 263). Quod e secundo Genealogiarum libro locum repetivit Natalis, vel sine ulla ratione fecit, vel propter locum Stephani (fr. 343), ordinis, quo fabulas distribuit Hecataeus, nescius. Ne id quidem statui potest, in eo, quo Natalis usus est, codice mentionem Hecataei fuisse factam. Nam si revera hoc nomen invenisset Natalis, accurate ei omnia exscribenda fuissent, quod cum non fecerit, sed brevius plura narraverit, fides ei nulla haberi potest. Ne tamen me hanc sententiam propterea tulisse quis opinetur, quod ordinem, quo fabulas in Genealogiis dispositas ostendi, turbet locus Natalis, rationem reddam, qua in secundo earum libro Lycaonis mentio iniici potuerit. Erat ille proavus Augae, neque improbabile est, dixisse Hecataeum in illo libro de genere Augae. Fatendum tamen est, longiorem esse hanc Lycaonis mentionem, aptioremque fuisse libro tertio.

376.

Natal. Com. III, init. p. 189: His rationibus [cogitationibus de regno inferorum] ad corporis voluptates pertinentibus (alias enim voluptates vulgus non perci-

piebat) aliisque similibus conati sunt antiqui multitudinis animos partim spe voluptatum, partim metu suppliciorum ad iustitiam vitaeque integritatem revocare. Sed quoniam primus omnium mortalium Pluto istas rationes excogitavit, ut sensit Hecataeus, hunc esse locorum illorum regem perhibebant, sicut ventorum Aeolum, quia mutationes ventorum prior observasset.

377.

Nat. Com. VI, 23: Ubi Hercules foedus iniit cum liberis Nelei fide ultro citroque data, sue mactato super eius testibus et ipse et illi iurarunt atque confirmarunt iuramentum insuper factum, ut scripsit in Phoroneo Hecataeus. — Phoroneum fuisse librum Hecataei solummodo propter pravam, quam in Strabonem intrusit aliquis, coniecturam opinati sunt nonnulli. Strab. X, p. 723. cf. Casaub. Creuzer. p. 40.

378.

Nat. Com. VII, 2: Acheloum Alcaeus Oceani et Terrae filium esse sensit, ac Hecataeus Solis et Terrae. — Nisi dubia esset Comitis fides propter reliquos vel errores vel fraudes, non est, quod obstet, cur hanc rem revera ab eo alicubi vel in libro grammatico vel in scholio repertam et ab ipso Hecataeo profectam putemus.

379.

Nat. Com. IX, 9: Miratus sum, cur Pausanas in Arcadicis (VIII, 6) unicam tantum filiam fuisse dicat Ly-

caoni inter tot mares, quam etiam inquit in gratiam Iunonis fuisse sagittis transfixam (Callisto): cum Dia etiam Dryopis mater filia eius fuerit, ut scripsit Hecataeus. — De hac re iudico, quod de fr. 378.

380.

Diog. Laert. Prooem. 6 de Magis: *Ἑκαταῖος δὲ λέγει καὶ γεννητοὺς τοὺς θεοὺς εἶναι κατ' αὐτούς.* Diserte negari non potest, de Magis dixisse Hecataeum in Periegesi, probabilior vero ea est opinio, qua in libros Abderitae hic locus relegatur, qui de Alexandro magno scripsit. Cr. p. 39. Quod enim Persica a nonnullis Milesio tribuuntur, mero debetur errori, quo cum Hellanico ille confusus est.

SCYLACIS CARYANDENSIS
PERIPLUS.

ΣΚΥΛΑΚΟΣ ΤΟΥ ΚΑΡΥΑΝΔΕΟΣ ΠΕΡΙΠΛΟΥΣ

ΤΗΣ ΘΑΛΑΣΣΗΣ ΤΗΣ ΟΙΚΟΥΜΕΝΗΣ ΕΥΡΩΠΗΣ, ΚΑΙ ΑΣΙΑΣ, ΚΑΙ ΛΙΒΥΗΣ.

Καὶ ὅσα καὶ ὁποῖα ἔθνη ἕκαστα, ἑξῆς καὶ χῶραι καὶ λιμένες καὶ ποταμοὶ καὶ ὅσα μήκη τῶν πλῶν, καὶ αἱ νῆσοι αἱ ἑπτὰ αἱ οἰκούμεναι, καθότι ἑκάστη κεῖται τῆς ἠπείρου.

ΕΥΡΩΠΗ.

ΑΡΞΟΜΑΙ δὲ ἀπὸ Ἡρακλείων στηλῶν τῶν 1.
ἐν τῇ Εὐρώπῃ, μέχρι Ἡρακλείων στηλῶν τῶν ἐν τῇ Pag. 1. Huds.
Λιβύῃ, καὶ μέχρι Αἰθιόπων τῶν μεγάλων. Εἰσὶ δὲ

SCYLACIS CARYANDENSIS PERIPLUS maris ad litora habitata Europae, Asiae et Libyae: item quot et quales gentes quaeque, deinceps etiam regiones et portus et fluvii, et quantae navigationum longitudines; item septem habitatae insulae, prout quaeque adiacet continenti.

Incipiam autem ab Herculeis Columnis, quae sunt in Europa, usque ad Herculeas Columnas, quae in Libya sunt, et usque ad Aethiopes magnos. Sunt vero sibi

ἀλλήλων καταντικρὺ αἱ Ἡρακλεῖαι στῆλαι, καὶ ἀπέχουσιν ἀλλήλων πλοῦν ἡμέρας. Ἀπὸ Ἡρακλείων στηλῶν τῶν ἐν τῇ Εὐρώπῃ ἐμπόρια πολλὰ Καρχηδονίων, καὶ πηλὸς, καὶ πλημμυρίδες, καὶ πελάγη.

ΙΒΗΡΕΣ. Τῆς Εὐρώπης εἰσὶ πρῶτοι Ἴβηρες,
2. Ἰβηρίας ἔθνος, καὶ ποταμὸς Ἴβηρ· καὶ νῆσοι ἐνταῦθα ἔπεισι δύο, αἷς ὄνομα Γάδειρα. τούτων ἡ ἑτέρα πόλιν ἔχει ἀπέχουσαν ἡμέρας πλοῦν ἀπὸ Ἡρακλείων στηλῶν .... Εἶτα ἐμπόριον, πόλιν Ἑλληνίδα, ᾗ ὄνομα Ἐμπόριον, εἰσὶ δὲ οὗτοι Μασσαλιωτῶν ἄποικοι. παράπλους τῆς Ἰβηρίας ζ' ἡμερῶν καὶ ζ' νυκτῶν.

ΛΙΓΥΕΣ ΚΑΙ ΙΒΗΡΕΣ. Ἀπὸ δὲ Ἰβήρων
3. ἔχονται Λίγυες καὶ Ἴβηρες μιγάδες, μέχρι ποταμοῦ
Pag. 2. Ῥοδανοῦ. παράπλους Λιγύων ἀπὸ Ἐμπορίου μέχρι Ῥο-

3. Em. Voss. — Codd. παράπλους ἀπὸ Λίγυος Ἐμπορίου.

ex adverso Herculeae Columnae, distantque inter se diei iter. Extra Herculis Columnas, quae sunt in Europa, multa sunt Carthaginiensium emporia, et coenum, et aestus, et maria. || 2. Europae primi sunt *Iberi*, Iberiae gens, fluviusque Iberus: et insulae ibi adiacent duae, quibus nomen Gades. Harum altera urbem habet, quae diei iter ab Herculeis Columnis abest ...... Postea emporium, urbem Graecam, cui nomen Emporium: sunt autem hi Massiliensium coloni. Praeternavigatio Iberiae est septem dierum et septem noctium. || 3. Iberos sequuntur *Ligures et Iberi* mixti, usque ad Rhodanum fluvium. Praeternavigatio

δανοῦ ποταμοῦ δύο ἡμερῶν καὶ μιᾶς νυκτός.

ΛΙΓΥΕΣ. Ἀπὸ Ῥοδανοῦ ποταμοῦ ἔχονται Λίγυες μέχρι Ἀλπίου. ἐν ταύτῃ τῇ χώρᾳ πόλις ἐστὶν Ἑλληνὶς 4.
Μασσαλία καὶ λιμήν.... ἄποικοι αὗται Μασσαλίας εἰσίν. παράπλους δ' ἐστὶ ταύτης ἀπὸ Ῥοδανοῦ ποταμοῦ μέχρι Ἀλπίου ἡμερῶν δ' καὶ νυκτῶν δ'. Ἀπὸ δὲ Ἡρακλείων στηλῶν μέχρι Ἀλπίου ἡ χώρα πᾶσα αὕτη εὐλίμενος.

ΤΥΡΡΗΝΟΙ. Ἀπὸ δ' Ἀλπίου Τυῤῥηνοὶ ἔθνος 5.
μέχρι Ῥώμης πόλεως. παράπλους ἡμερῶν δ' καὶ νυκτῶν δ'.

ΚΥΡΝΟΣ. Κατὰ δὲ Τυῤῥηνίαν κεῖται νῆσος 6.

4. Ἀλπίου em. Gronov. Codd. Ἀντίου. Cluver. Ἄρνου. Ante ἄποικοι videtur excidisse: Ταυροέντιον, Ὀλβία, Αντίπολις. Cluver.

Ligurum ab Emporio usque ad Rhodanum fluvium duorum dierum et unius noctis. ‖ 4. Post Rhodanum fluvium sunt *Ligures*, usque ad Alpium. In ista regione urbs est Graeca Massilia cum portu .... Massiliensium hae sunt coloniae. Praeternavigatio huius (regionis) a Rhodano fluvio usque ad Alpium est dierum quatuor et noctium quatuor. Ab Herculeis Columnis usque ad Alpium omnis hic tractus portus habet commodos. ‖ 5. Post Alpium *Tyrrhenorum* est gens, usque ad urbem Romam. Tyrrhenorum autem praeternavigatio dierum quatuor et noctium quatuor. ‖ 6. Prope Tyrrheniam sita est insula *Corsica*. Navigatio vero a

Κύρνος. Ἔστι δὲ ἀπὸ Τυῤῥηνίας ὁ πλοῦς εἰς Κύρνον ἡμέρας καὶ ἡμίσεως. καὶ νῆσος ἐν μέσῳ τῷ πλῷ τούτῳ οἰκουμένη, ᾗ ὄνομα Αἰθαλία, καὶ ἄλλαι πολλαὶ ἔρημοι νῆσοι.

7. ΣΑΡΔΩ. Ἀπὸ δὲ Κύρνου νήσου εἰς Σαρδὼ νῆσον πλοῦς ἡμέρας τρίτον μέρος. καὶ νῆσος ἐρήμη ἐν τῷ μεταξύ. Ἀπὸ Σαρδοῦς δὲ εἰς Λιβύην, πλοῦς ἡμέρας καὶ νυκτός. Εἰς δὲ Σικελίαν ἀπὸ Σαρδοῦς πλοῦς ἡμερῶν δύο καὶ νυκτός. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν εἰς τὴν Κύρνον ἐξετραπόμην.

8. ΛΑΤΙΝΟΙ. Τυῤῥηνίας ἔχονται Λατῖνοι μέχρι τοῦ Κιρκαίου. καὶ τὸ τοῦ Ἐλπήνορος μνῆμά ἐστι Λατίνων. Λατίνων παράπλους ἡμέρας καὶ νυκτός.

9. ΟΛΣΟΙ. Λατίνων δὲ ἔχονται Ὀλσοί. Ὀλσῶν δὲ παράπλους ἡμέρας μιᾶς.

Tyrrhenia in Corsicam est diei ac dimidii. Et insula in medio hoc itinere habitata, cui nomen Aethalia, aliaeque complures desertae insulae. ‖ 7. A Corsica insula in *Sardiniam* insulam est tertiae diei partis navigatio. Et in medio est insula deserta. A Sardinia vero in Libyam diei noctisque est navigatio. In Siciliam vero a Sardinia navigatio duorum dierum noctisque. Sed redeo rursum ad continentem, unde ad Corsicam digressus eram. ‖ 8. Tyrrheniam sequuntur *Latini*, usque ad Circeios. Etiam Elpenoris tumulus est Latinorum. Praeternavigatio autem Latinorum diei et noctis. ‖ 9. Latinos sequuntur *Volsci*. Volsco-

ΚΑΜΠΑΝΟΙ. Ὀλσῶν δὲ ἔχονται Καμπανοί. καί 10.
εἰσι πόλεις Ἑλληνίδες αὗται ἐν τῇ Καμπανίᾳ· Κύμη, b.
Νεάπολις. Κατὰ ταῦτά ἐστι Πιθηκοῦσα νῆσος καὶ πό-
λις Ἑλληνίς. Παράπλους δὲ τῆς Καμπανίας ἐστὶν ἡμέ-
ρας μιᾶς.

ΣΑΥΝΙΤΑΙ. Καμπανῶν δὲ ἔχονται Σαυνῖται· 11.
καὶ παράπλους ἐστὶ Σαυνιτῶν ἡμέρας ἥμισυ.

ΛΕΥΚΑΝΟΙ. Λευκανοὶ Σαυνιτῶν ἔχονται μέχρι 12.
Θουρίας. Ὁ πλοῦς δέ ἐστι παρὰ Λευκανίαν ἡμερῶν
ϛ' καὶ νυκτῶν. Ἡ δὲ Λευκανία ἐστὶν ἀκτή. Ἐν ταύτῃ
πόλεις εἰσὶν Ἑλληνίδες αἵδε, Ποσειδωνία, καὶ Ἐλάα Pag. 4.
Θουρίων ἀποικία, Πανδοσία, Πλαταιεῖς, Τερίνα, Ἱππώ-
νιον, Μέσα, Ῥήγιον ἀκρωτήριον καὶ πόλις.

ΣΙΚΕΛΙΑ. Κατὰ δὲ Ῥήγιόν ἐστι Σικελία νῆσος 13.

12. *Ποσειδωνία* em. Cluver. Ital. IV, 14. p. 1252. Codd. *Ποσειδῶ*, *Ἰαι*.

rum vero praeternavigatio diei unius. ‖ 10. Post Volscos sunt *Campani*. Et hae Graecae urbes sunt in Campania: Cuma, Neapolis. Hic est Pithecusa insula cum urbe Graeca. Praeternavigatio vero Campaniae est diei unius. ‖ 11. Campanis contigui sunt *Samnites*. Samnitum vero praeternavigatio est diei dimidiati. ‖ 12. Samnites sequuntur *Lucani* usque ad Thurios. Praeternavigatio vero Lucaniae est dierum sex et noctium sex. Est autem Lucania peninsula. In ea sunt hae urbes Graecae: Posidonia, et Elaa Thuriorum colonia, Pandosia, Plataeenses, Terina, Hipponium, Mesa, Rhegium promontorium et urbs. ‖ 13. E regione Rhegii est

ἀπὸ τῆς Εὐρώπης ἀπέχουσα στάδια ιβ', ἐς Πελωριάδα ἀπὸ Ῥηγίου. Ἐν δὲ Σικελίᾳ ἔθνη βάρβαρα τάδε ἐστίν· Ἔλυμοι, Σικανοὶ, Σικελοὶ, Φοίνικες, Τρῶες. Οὗτοι μὲν
b βάρβαροι, οἰκοῦσι δὲ καὶ Ἕλληνες. Ἀκρωτήριον δὲ Σικελίας Πελωριάς. Πόλεις δέ εἰσιν ἀπὸ Πελωριάδος Ἑλληνίδες αἵδε· Μεσσήνη καὶ λιμὴν, Ταυρομένιον, Νάξος, Κατάνη, Λεοντῖνοι. εἰς τοὺς Λεοντίνους δὲ κατὰ Τηρίαν ποταμὸν ἀνάπλους κ' σταδίων. Σύμαιθος ποταμὸς, καὶ πόλις Μεγαρὶς, καὶ λιμὴν Ξιφώνειος. Ἐχομένη δὲ Μεγαρίδος πόλις ἐστὶ Συράκουσαι, καὶ λιμένες ἐν αὐτῇ δύο. Τούτων ὁ ἕτερος ἐντὸς τείχους, ὁ δ' ἄλλος ἔξω. Μετὰ δὲ ταύτην πόλις Ἕλωρον, καὶ Πά-

13 a. Ἔλυμοι em. Voss. Cf. Dion. Hal. Ant. Rom. I, p. 42. lin. 32. Codd. Ἐδύναι.
Φοίνικες em. Hoeschel. Cf. Thuc. VI, 2. Codd. Θοίνικες.
b. Τηρίαν em. Cluver Thuc. VI, 50. Codd. τὴν ῥίαν.
Μεγαρίδος πόλις em. Cluver. Codd. πόλις Μεγαρίς. Gronov. πόλις μεγάλη. At ἐχομένη genitivum requirit.

Sicilia insula, duodecim ab Europa stadia distans; a Rhegio in Pelorum. In Sicilia autem gentes barbarae sunt hae: Elymi, Sicani, Siculi, Poeni, Troiani. Hi quidem Barbari; habitant vero etiam Graeci. Promontorium Siciliae est Pelorus. A Peloro urbes Graecae hae sunt: Messana cum portu, Tauromenium, Naxus, Catana, Leontini. Ad Leontinos vero per Teriam flumen sursum navigatur viginti stadia. Symaethus amnis, et urbs Megaris, et portus Xiphonius. Megaridem autem sequitur urbs Syracusae, cum duobus portubus. Horum unus intra murum, alter vero extra. Post hunc vero urbs Helorum, et Pachynus

χυνος ἀκρωτήριον. Ἀπὸ Παχύνου δὲ πόλεις Ἑλληνίδες αἵδε· Καμάρινα, Γέλα, Ἀκράγας, Σελινοῦς, Λιλύβαιον ἀκρωτήριον. Ἀπὸ δὲ Λιλυβαίου πόλις ἐστὶν Ἑλληνὶς Ἱμέρα. Ἔστι δὲ ἡ Σικελία τρίγωνος· τὸ δὲ κῶλον ἕκαστον αὐτῆς ἐστὶ μάλιστα στάδια ,βφ'. Κατὰ c.
πέραν πόλις Λιπάρα νῆσός ἐστι, καὶ πόλις Ἑλληνὶς Pag. 5.
Μύλαι, καὶ λιμήν. Ἔστι δὲ ἀπὸ Μυλῶν ἐπὶ Λιπάραν νῆσον πλοῦς ἡμέρας ἥμισυ. Ἐπάνειμι δὲ πάλιν d.
ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην. Ἀπὸ γὰρ Ῥηγίου πόλεις εἰσὶν αἵδε· Λοκροὶ, Καυλωνία, Κρότων, Λακίνιον ἱερὸν Ἥρας, καὶ νῆσος Καλυψοῦς, ἐν ᾗ Ὀδυσσεὺς ᾤκει παρὰ Καλυψοῖ, καὶ ποταμὸς Κρᾶθις, καὶ Σύβαρις καὶ Θουρία πόλις. οὗτοι ἐν τῇ Λευκανίᾳ Ἕλληνες.

κῶλον em. Salmas. Codd. καλόν.
Στάδια ,βφ' em. Salmas. Codd. μφ'.
c. κατὰ πέραν πόλις. Codd. πόλιν.
d. ποταμός. Cluver. coni. ποταμοί.
Θουρία em. Cluver. Codd Τυρία.

promontorium. Post Pachynum autem sunt hae urbes Graecae: Camarina, Gela, Agrigentum, Selinus, Lilybaeum promontorium. Post Lilybaeum est urbs Graeca Himera. Est autem Sicilia triangularis, et quodque eius latus est circiter 1500 stadiorum. E regione urbs Lipara insula est; et urbs Graeca Mylae cum portu. A Mylis in Liparam insulam diei dimidiati est navigatio. Post Rhegium urbes hae: Locri, Caulonia, Croton, Lacinium fanum Iunonis, et Calypsus insula, in qua Ulysses habitabat apud Calypso; et fluvius Crathis, et Sybaris et Thuria urbs. Hi in Lucania Graeci.

14. *ΙΑΠΥΓΕΣ.* Μετὰ δὲ τὴν Λευκανίαν, Ἰάπυγές εἰσιν ἔθνος μέχρι Δρίονος ὄρους τοῦ ἐν τῷ κόλπῳ τῷ Ἀδρίᾳ· ἐν δὲ τούτῳ τῷ ἔθνει γλῶσσαι, ἤτοι στόματα τάδε· Λατέρνιοι, Ὀπικοὶ, Κραμόνες, Βορεοντῖνοι, Πευκετιεῖς. παράπλους παρὰ τὴν Ἰαπυγίαν ϛ′ ἡμερῶν καὶ ϛ′ νυκτῶν. Ἐν δὲ τῇ Ἰαπυγίᾳ οἰκοῦσιν Ἕλληνες, καὶ πόλεις εἰσὶν αἵδε· Ἡράκλειον, Μεταπόντιον, Τάρας, καὶ λιμὴν Ὑδροῦς ἐπὶ τῷ τοῦ Ἀδρίου ἢ τῷ τοῦ Ἰονίου κόλπου στόματι.

15. *ΣΑΥΝΙΤΑΙ.* Μετὰ δὲ Ἰάπυγας ἀπὸ Δρίονος Σαυνῖται ἔθνος ἐστίν, διήκοντες ἀπὸ τοῦ Τυῤῥη-

14. *εἰσιν* em. Cluver. Codd. *μέσον.* Hoeschel. *μέσον.* *Δρίονος* em. Gronov. Codd. *Ἀρίονος.*
ἐν δὲ - Πευκετιεῖς em. Niebuhr. Hist. Rom. I, 165, not. In codd. posita sunt §. 15 post: *ἔθνος ἐστίν.*
15. *Δρίονος* em. Gron. Codd. *Ἀρίονος.* Hoeschel. et Vossius: *Ἀρίονος ὄρους.*
Σαυνῖται em. Niebuhr. Hist. Rom. I, 104 not. et 165 not. Codd. *Δαυνῖται.*

14. Post Lucaniam est *Iapygum* gens, usque ad Drionem montem, qui est in sinu Adriatico. In hac gente linguae sive ora haec sunt: Laternii, Osci, Cramones, Boreontini, Peucetii. Praeternavigatio Iapygiae est dierum sex et noctium sex. In Iapygia vero habitant Graeci, urbesque in ea sunt hae: Heraclea, Metapontum, Tarentum, et Hydruntum portus in ipso Adriatici sive Ionii sinus ore. || 15. Post Iapyges et Drionem montem est gens *Samnites*, qui pertingunt a Tyrrheno mari usque ad Adriam. Praeternavigatio vero re-

νικοῦ πελάγους εἰς τὸν Ἀδρίαν. Παράπλους τῆς Σαυνίτιδος χώρας, ἡμερῶν δύο καὶ νυκτῶν.

ΟΜΒΡΙΚΟΙ. Μετὰ δὲ Σαυνίτας ἔθνος ἐστὶν 16.
Ὀμβρικοί· καὶ πόλις ἐν αὐτῷ Ἀγκὼν ἐστι. τοῦτο δὲ τὸ Pag. 6.
ἔθνος τιμᾷ Διομήδην, εὐεργετηθὲν ὑπ' αὐτοῦ· καὶ ἱερόν ἐστιν αὐτοῦ. παράπλους δὲ τῆς Ὀμβρικῆς ἐστὶν ἡμερῶν δύο καὶ νυκτός.

ΤΥΡΡΗΝΟΙ. Μετὰ δὲ τὸ Ὀμβρικὸν Τυῤῥηνοί. 17.
διήκουσι δὲ καὶ οὗτοι ἀπὸ τοῦ Τυῤῥηνικοῦ πελάγους ἔξωθεν εἰς τὸν Ἀδρίαν διήκοντες· καὶ πόλις ἐν αὐτῇ Ἑλληνὶς καὶ ποταμός· καὶ ἀνάπλους εἰς τὴν πόλιν κατὰ ποταμὸν ὡς κ' σταδίων. Καὶ Τυῤῥηνία ἐστὶν διήκουσα ἀπὸ τῆς ἔξωθεν θαλάττης ἕως εἰς τὸν Ἀδρίαν κόλπον· ἀπὸ πόλεων.... πόλεως, καί ἐστιν ὁδὸς ἡμερῶν τριῶν.

Σαυνίτιδος χώρας em. Nieb. Codd. Δαυν. et §. 16. Δαυνίτας. 17. Ἀδρίαν em. Cluver. Codd. Δαφνίαν.

gionis Samnitum est dierum noctiumque duarum. || 16. Post Samnites est *Umbrorum* gens: et in ea est Ancon urbs. Haec gens Diomedem colit, a quo beneficiis affecta fuit, et eius (ibi) est fanum. Praeternavigatio autem Umbriae est duorum dierum et noctis. || 17. Umbros *Tyrrheni* sequuntur: pertinent autem et hi a mari exteriore Tyrrheno ad Adriam usque pertinentes; et urbs apud illos est Graeca, et amnis: et navigatur sursum ad hanc urbem per amnem stadia viginti. Extendit vero sese Tyrrhenia a mari extero usque ad sinum Adriaticum, ab urbibus [Roma et Ancona usque ad Spinam] urbem; et est iter dierum trium.

18. *ΚΕΛΤΟΙ*. *Μετὰ δὲ Τυῤῥηνούς εἰσι Κελτοὶ ἔθνος ἀπολειφθέντες τῆς στρατείας, ἐπὶ στενῶν μέχρι Ἀδρίου· ἐνταῦθα δέ ἐστιν ὁ μυχὸς τοῦ Ἀδρίου κόλπου.*

19. *ΕΝΕΤΟΙ*. *Μετὰ δὲ Κελτοὺς Ἐνετοί εἰσιν ἔθνος, καὶ ποταμὸς Ἠριδανὸς ἐν αὐτοῖς. Ἐντεῦθεν δὲ παράπλους ἐστὶν ἐπ' αὐτῆς ἀπὸ Σπίνης πόλεως ἡμέρας μιᾶς.*

20. *ΙΣΤΡΟΙ*. *Μετὰ δὲ Ἐνετούς εἰσιν ἔθνος Ἴστροι,*
Pag. 7. *καὶ ποταμὸς Ἴστρος. οὗτος ὁ ποταμὸς καὶ εἰς τὸν Πόντον ἐκβάλλει ἐν διασκευῇ ὡς εἰς Αἴγυπτον. παράπλους δὲ τῆς Ἰστριανῶν χώρας ἡμέρας καὶ νυκτός.*

21. *ΛΙΒΥΡΝΟΙ*. *Μετὰ δὲ Ἴστρους Λιβυρνοί εἰσιν ἔθνος. ἐν δὲ τούτῳ τῷ ἔθνει πόλεις εἰσὶ παρὰ θάλατταν αἵδε· Ἴδασσα, Ἀττιενίτης, Δυύρτα, Ἁλουψοί, Ὀλσοὶ, Πεδῆται, Ἡμίονοι. οὗτοι γυναικοκρατοῦνται.*

19. *Σπίνης* em. Cluver. Codd. *Πίσης*.
20. *ἐν διασκευῇ ὡς εἰς Αἴγ.* - Codd. *ἐνδιασκευνως εἰς Α.*

18. Post Tyrrhenos est *Celtarum* gens: qui relicti sunt ab expeditione in angusta regione usque ad Adriam. Et istic est sinus Adriatici recessus intimus. || 19. Post Celtas *Venetorum* est natio, et fluvius Eridanus in iis. Ibi praeternavigatio ad hanc ab urbe Spina est diei unius. || 20. Post Venetos sunt *Istri* et fluvius Ister. Hic fluvius etiam in Pontum Euxinum delabitur, in directione adversus Aegyptum. Praeternavigatio autem Istrianorum regionis est diei noctisque. || 21. Post Istros *Liburnorum* gens est. Ea in gente maritimae civitates sunt hae: Idassa, Attienites, Dyyrta, Halupsi, Volsci, Pedetae, Hemioni. Hi muliebri imperio subiecti sunt.

καί εἰσιν αἱ γυναῖκες ἀνδρῶν ἐλευθέρων, μίσγονται δὲ τοῖς ἑαυτοῦ δούλοις, καὶ τοῖς πλησιοχώροις ἀνδράσι. Κατὰ ταύτην τὴν χώραν αἵδε νῆσοί εἰσιν, ὧν ἔχω b. εἰπεῖν τὰ ὀνόματα· εἰσὶ δὲ καὶ ἄλλαι ἀνώνυμοι πολλαί· Εἴστρις νῆσος, σταδίων τί, πλάτος δὲ ρκ'· Κλείτρει Λιτρία, Μεντορίδες· αὗται δὲ αἱ νῆσοί εἰσι μεγάλαι. Καταρβάτης ποταμός. Παράπλους τῆς Λιβυρνίδος χώρας ἡμερῶν δύο.

ΙΛΛΥΡΙΟΙ. Μετὰ δὲ Λιβυρνούς εἰσιν Ἰλλύριοι 22. ἔθνος, καὶ παροικοῦσιν οἱ Ἰλλύριοι παρὰ θάλατταν μέχρι Χαονίας τῆς κατὰ Κέρκυραν τὴν Ἀλκινόου νῆσον. καὶ πόλις ἐστὶν Ἑλληνὶς ἐνταῦθα, ᾗ ὄνομα Ἡράκλεια, καὶ λιμήν. Εἰσὶ δὲ καὶ οἱ Λωτοφάγοι καλούμενοι, b.

21. b. *Κλείτρει Λιτρία.* Fortasse *Ἠλεκτρίδες*. Scymn. 373.
22. *Χαονίας* em. Salmas. Codd *Χλωνίας*.

Et sunt uxores liberorum virorum: coeunt autem cum servis suis vicinarumque regionum viris. Huic regioni hae adiacent insulae, quarum possum recensere nomina: sunt vero et aliae complures ibi sine nomine. Istris insula stadiorum 310, latitudine 120; Electrides, Mentorides, hae sunt magnae insulae. Catarbates fluvius. Praeternavigatio Liburnicae regionis est dierum duorum. || 22. Liburnos sequitur *Illyriorum* gens, habitantque Illyrii secundum mare usque ad Chaoniam, quae est ex adverso Corcyrae, Alcinoi insulae. Estque ibi urbs Graeca, cui nomen Heraclea, cum portu. Sunt etiam qui dicuntur Lotophagi, iique barbari; Hiera-

βάρβαροι οἴδε· Ἱεραστάμναι, Βουλινοὶ, Ὑλλινοι. Βουλινῶν ὁμοτέρμονες Ὕλλοι. οὗτοι δέ φασιν Ὕλλον τὸν Ἡρα-
Pag. 8. κλέους αὐτοῦ κατοικῆσαι· εἰσὶ δὲ βάρβαροι· κατοικοῦσι δὲ χεῤῥόνησον ὀλίγω ἐλάσσω τῆς Πελοποννήσου. Ἀπὸ δὲ χεῤῥονήσου παραστόνιον ὀρθὸν, ταύτην παροικοῦσι. Βουλινοὶ δ' εἰσὶν ἔθνος Ἰλλυρικὸν. παράπλους δέ ἐστι τῆς Βουλινῶν χώρας ἡμέρας μακρᾶς ἐπὶ Νεστὸν ποταμὸν.

23. ΝΕΣΤΟΙ. Ἀπὸ δὲ Νεστοῦ πλοῦς ἐστὶ κολπώδης. Καλεῖται δὲ Μάνιος ἅπας οὗτος ὁ κόλπος. παράπλους δέ ἐστιν ἡμέρας μιᾶς. Εἰσὶ δὲ ἐν τούτῳ τῷ τόπῳ νῆσοι, Προτεράς, Κρατειαὶ, Ὀλύντα. αὗται δὲ ἀπ' ἀλλήλων ἀπέχουσι στάδια β', ἢ ὀλίγῳ πλέον, κατὰ Φάρον καὶ Ἴσσαν. ἐνταῦθα γάρ ἐστι νέος Φάρος,

22. Ὕλλινοι Codd. Gail. Ὕλλοι.
ὁμοτέρμονες. Codd. λινοτέρμονες. Voss. ἀγχιτέρμονες.
Ἀπὸ δὲ χεῤῥονήσου — ὀρθὸν cod. Hervurtii. Vulg. ἀπὸ παραστόνιον ὀρθὸν.

stamnae, Bulini, Hyllini. Bulinorum vicini sunt Hylli. Dicunt vero hi, Hyllum Herculis filium illic habitasse: sunt autem barbari. Incolunt peninsulam paullo minorem Peloponneso. A peninsula vero directum litus incolunt iuxta illam Bulini. Bulini vero sunt gens Illyriorum. Praeternavigatio regionis Bulinorum ad flumen Nestum est longae diei. || 23. *Nesti.* A Nesto amne navigatio est sinuosa. Vocatur Manius universus hic sinus. Praeternavigatio vero eius est diei unius. Hoc in sinu hae sunt insulae: Proteras, Cratiae, Olynta. Hae stadia duo a se invicem distant, sive paulo plus, prope Pharum et Issam. Istic enim est nova Pharus,

νῆσος Ἑλληνὶς, καὶ Ἴσσα νῆσος· καὶ πόλεις Ἑλληνίδες αὗται. Πρὶν ἐπὶ τὸν Νάρωνα ποταμὸν παραπλεῦσαι, b.
πολλὴ χώρα ἀνήκει σφόδρα εἰς θάλασσαν. Καὶ νῆσος τῆς παραλίας χώρας ἐγγὺς, ᾗ ὄνομα Μελίτη. καὶ ἑτέρα νῆσος ἐγγὺς ταύτης, ᾗ ὄνομα Κέρκυρα ἡ μέλαινα· καὶ ἐκτρέχει περὶ τὸ ἀκρωτήριον νῆσος αὕτη τῆς παραλίας χώρας σφόδρα, τῷ δὲ ἑτέρῳ ἀκρωτηρίῳ καθήκει ἐπὶ τὸν Νάρωνα ποταμόν. Ἀπὸ δὲ τῆς Μελίτης ἀπέχει στάδια κ'· τῆς δὲ παραλίας χώρας ἀπέχει στάδια η'.

ΜΑΝΙΟΙ. Ἀπὸ δὲ Νεστῶν ἐστὶν ὁ Νάρων 24.
ποταμός· ὁ δε εἴςπλους εἰς τὸν Νάρωνά ἐστιν οὐ Pag. 9.
στενός. εἰσπλεῖ δὲ εἰς αὐτὸν καὶ τριήρης καὶ πλοῖα εἰς τὸ ἄνω ἐμπόριον, ἀπέχον ἀπὸ θαλάσσης στάδια π'. Οὗτοι δέ εἰσιν Ἰλλύριοι ἔθνος Μανιοί. Λίμνη δέ ἐστι b.

23. b. ἐκτρέχει em. Hoeschel. Codd. ἐῤῥέχει. Salmas. ἀπέχει.

insula Graeca, et Issa insula; et hae quidem Graecae civitates. Antequam vero ad Naronem fluvium perveniatur, magna admodum regionis huius pars in mare prominet. Et insula maritimae huic regioni propinqua est, cui nomen Melita. Vicina huic est et alia insula, cui nomen Corcyra nigra. Et plurimum excurrit circa (alterum) promontorium haec insula a maritima regione; altero vero promontorio pertinet versus Naronem fluvium. A Melita distat (Corcyra) stadia viginti; a maritima regione stadia octo. ‖ 24. Post Nestos est Naro fluvius. Navigatio usque in Naronem non est angusta. Pervenit in eum vel triremis et naves onerariae ad emporium, quod sursum situm abest a mari stadia octoginta. Sunt

τὸ εἴσω τοῦ ἐμπορίου μεγάλη, καὶ ἀνήκει ἡ λίμνη εἰς Αὐταριάτας, ἔθνος Ἰλλυρικόν. καὶ νῆσος ἐν τῇ λίμνῃ ἔνεστι σταδίων ρκ· ἡ δὲ νῆσος αὕτη ἐστὶν εὐγέωργος σφόδρα. Ἀπὸ δὲ ταύτης τῆς λίμνης ὁ Νάρων ποτα-
c. μὸς ἀποῤῥεῖ. Καὶ ἀπὸ τοῦ Νάρωνος ἐπὶ τὸν Ἀρίωνα ποταμὸν ἡμέρας ἐστὶ πλοῦς. ἀπὸ δὲ τοῦ Ἀρίωνος ποταμοῦ πλοῦς ἡμέρας ἥμισυ, καὶ Κάδμου καὶ Ἁρμονίας οἱ λίθοι εἰσὶν ἐνταῦθα, καὶ ἱερὸν, ἄπωθεν τοῦ Ἀρίωνος ποταμοῦ. ἀπὸ δὲ τοῦ Ἀρίωνος ποταμοῦ εἰς Βουθόην ὁ πλοῦς καὶ τὸ ἐμπόριον.

25. ΕΓΧΕΛΕΙΣ. Ἰλλυριῶν ἔθνος εἰσὶν οἱ Ἐγχελεῖς, ἐχόμενοι τοῦ Ῥιζοῦντος. ἐκ Βουθόης δὲ εἰς Ἐπίδαμνον, πόλιν Ἑλληνίδα, πλοῦς ἡμέρας καὶ νυκτὸς, ὁδὸς δὲ τριῶν ἡμερῶν.

autem hi Illyrii gens *Manii*. Lacus vastus est ab interiore emporii parte, qui lacus pertinet usque ad Autariatas, gentem Illyricam. Et insula in hoc lacu est stadiorum 120 agri culturae perquam commoda. Ab hoc lacu Naro fluvius profluit. A Narone ad Arionem fluvium est navigatio diei. Ab Arione vero fluvio diei dimidiati navigatione facta, ibi Cadmi et Harmoniae sunt rupes, et fanum procul ab Arione fluvio. Ab Arione autem fluvio ad Buthoen navigatur et emporium. || 25. Illyriorum gens sunt Enchelei, qui post (amnem) Rhizonem sunt. Ex Buthoe autem ad Epidamnum, urbem Graecam, navigatio est diei noctisque; iter vero (pedestre) trium dierum.

ΙΛΛΥΡΙΟΙ. Κατ' ἀντίον δέ ἐστιν τὸ Ἰλλυρικὸν ἔθνος, ἐν ᾧ ἡ Ἐπίδαμνός ἐστι, καὶ ποταμὸς παρὰ τὴν πόλιν παραῤῥεῖ, ᾧ ὄνομα Πάλαμνος. Ἐκ δὲ Ἐπιδάμνου εἰς Ἀπολλωνίαν πόλιν Ἑλληνίδα ὁδὸς ἡμερῶν δύο. ἡ δὲ Ἀπολλωνία ἀπὸ τῆς θαλάσσης ἀπέχει στάδια ν', καὶ ποταμὸς Αἴας παραῤῥεῖ τὴν πόλιν. Ἀπὸ δὲ Ἀπολ- λωνίας εἰς Ἀμαντίαν ἐστὶ στάδια τκ'. Καὶ ὁ Αἴας ποταμὸς ἀπὸ τοῦ Πίνδου ὄρους παρὰ τὴν Ἀπολλω- νίαν παραῤῥεῖ. Πρὸς Ὠρίκου εἴσω μᾶλλον εἰς τὸν Ἰόνιον τῆς Ὠρικίας καθήκει εἰς θάλατταν στάδια π'· τῆς δὲ Ἀμαντίας στάδια ξ'. Ἅπασιν ὅμοροι ἐν μεσογείᾳ Ἀτίντανες ὑπὲρ τῆς Ὠρικίας καὶ Καρίας μέχρι

26. Pag. 10. b.

26. *Κατ' ἀντίον* Codd. Gronov. *Ταυλάντιοι*. Fortasse *Ταυλαντίων*.
b. *Αἴας* em. Voss. Cf. Hecat. fr. 71. Codd *Δίας*.
Ἀτίντανες em. Voss. Codd. *Ἀγίντανες*.
Καρίας Codd. Fortasse *Δεξαρίας* Hecat. fr. 73. — Voss. *Χαονίας*.

26. In adverso est *Illyriorum* gens, in qua Epidamnus urbs; et fluvius urbem praeterfluit, cui nomen Palamnus. Ex Epidamno autem ad Apolloniam, urbem Graecam, duorum dierum iter (pedestre). Apollonia vero abest a mari stadia 50, et fluvius Aeas urbem praeterlabitur. Ab Apollonia autem ad Amantiam sunt stadia 320. Et Aeas fluvius, a Pindo monte delapsus, Apolloniam praeterfluit. Ab Orici parte magis intus ad Ionium sinum Oriciae stadia octaginta pertinent ad mare, Amantiae vero stadia sexaginta. Omnibus contermini sunt in mediterraneo tractu Atintanes supra

c. Δωδωνίας. Ἐν τῇ Κάστιδι χώρᾳ εἶναι λέγεται πεδίον ὄνομα Ἐρυθεία. Ἐνταῦθα ὁ Γηρυόνης λέγεται ἥκειν καὶ τοὺς βοῦς βουκολεῖν. Κατὰ ταῦτά ἐστι τὰ Κεραύνια ὄρη ἐν τῇ Ἠπείρῳ, καὶ νῆσος παρὰ ταῦτά ἐστι μικρὰ, ᾗ ὄνομα Σασών. Ἐντεῦθεν εἰς Ὠρικὸν πόλιν ἐστὶ παράπλους ἡμέρας τρίτον μέρος.

27. ΩΡΙΚΟΙ. Οἱ δὲ Ὠρικοὶ κατοικοῦσιν τῆς Ἀμαντίας χώραν. οἱ δὲ Ἀμαντιεῖς εἰσὶν .... μέχρι ἐνταῦθα Ἰλλύριοι ἀπὸ Βουλινῶν. Τὸ δὲ στόμα τοῦ Ἰονίου κόλπου ἐστὶν ἀπὸ Κεραυνίων ὀρῶν μέχρι ἄκρας Ἰαπυ-

Pag. 11. γίας. Ἐπὶ δὲ Ὑδρόεντα πόλιν ἐν τῇ Ἰαπυγίᾳ ἀπὸ τῶν Κεραυνίων στάδια τοῦ διάπλου ὡς φ' ἐστὶ τὸ στόμα

Δωδωνίας em. Palmer. Codd. Ἠδωνίας.
c. πεδίον em. Voss. Codd. δὲ Διός.
27. Ἀμαντιεῖς εἰσὶν .... Addendum videtur Ἰλλύριοι.
Ἰονίου em. Voss. Codd. Ὀνέου.

Oriciam et Dexariam usque ad Dodoniam. In Castide regione esse campum dicunt, cui nomen Erythia. Huc Geryonem venisse fama est bovesque pavisse. Circa haec sunt montes Ceraunii in Epiro, et insula ibi parva est cui nomen Sason. Hinc in Oricum navigatio est tertiae diei partis. || 27. *Oricii* inhabitant Amantiae regionem: Amantienses sunt [Illyrii]. Hucusque Illyrii ex Bulinis. Os vero Ionii sinus patet a Cerauniis montibus usque ad Iapygiae promontorium. Ad urbem Hydruntum in Iapygiâ a Cerauniis, stadiis traiectus circiter 500 patet os sinus. Quidquid intus est, Ionium mare. Por-

τοῦ κόλπου. τὰ δὲ ἐντὸς ὁ Ἰόνιος. Λιμένες εἰσὶ πολλοὶ ἐν τῷ Ἀδρίᾳ· τὸ δὲ αὐτὸ Ἀδρίας ἐστὶ καὶ Ἰόνιος.

ΧΑΟΝΕΣ. Μετὰ δὲ Ἰλλυρίους Χάονες. Ἡ δὲ 28. Χαονία ἐστὶν εὐλίμενος· οἰκοῦσι δὲ κατὰ κώμας οἱ Χάονες. Παράπλους δ' ἐστὶ Χαονίας ἥμισυ ἡμέρας.

ΚΟΡΚΥΡΑ. Κατὰ δὲ Χαονίαν νῆσός ἐστι Κόρ- 29. κυρα, καὶ πόλις Ἑλληνὶς ἐν αὐτῇ, λιμένας ἔχουσα τρεῖς κατὰ τὴν πόλιν· τούτων ὁ εἷς κάλλιστος. Ἐπιβάλλει δὲ ἡ Κόρκυρα καὶ ἐπὶ τὴν Θεσπρωτίαν πλεῖον, ἢ ἐπὶ τὴν Χαονίαν. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην.

ΘΕΣΠΡΩΤΟΙ. Μετὰ δὲ Χαονίαν Θεσπρωτοί εἰσιν 30. ἔθνος. οἰκοῦσι δὲ καὶ οὗτοι κατὰ κώμας· ἔστι δὲ καὶ αὕτη εὐλίμενος. Ἐνταῦθά ἐστι λιμὴν, ᾧ ὄνομα Ἔλαια.

29. ἐν αὐτῇ cod. Hervurt. Vulg. ταύτῃ.
30. Ἔλαια em. Voss. e Thuc. I, 46 et Ptol. Codd. Ἐλεδ.

tus vero sunt in Adria multi: et idem est Adriaticus et Ionius sinus. || 28. Post Illyrios sunt *Chaones*. Chaonia vero habet portus commodos; et habitant Chaones vicatim. Praeternavigatio Chaoniae est diei dimidiati. || 29. In conspectu Chaoniae *Corcyra* insula est, et urbs Graeca cum tribus portubus propinquis. Ex his unus est pulcherrimus. Vergit autem Corcyra etiam magis ad Thesprotiam, quam ad Chaoniam. Sed rursus ad continentem me confero, unde digressus eram. || 30. Chaoniam sequuntur *Thesproti*. Habitant et hi vicatim; bonosque etiam portus habet haec regio. Por-

εἰς τοῦτον τὸν λιμένα ποταμὸς ἐξίησιν Ἀχέρων, και λίμνη Ἀχερουσία, ἐξ ἧς ὁ Ἀχέρων ῥεῖ ποταμός. Παράπλους δὲ τῆς Θεσπρωτίας ἥμισυ ἡμέρας.

31. *ΚΑΣΣΩΠΟΙ.* Μετὰ δὲ Θεσπρωτίαν Κασσωπία
Pag. 12. ἐστὶν ἔθνος. οἰκοῦσι δὲ καὶ οὗτοι κατὰ κώμας. παροικοῦσι δὲ οὗτοι ἕως εἰς τὸν Ἀνακτορικὸν κόλπον. Παράπλους δ' ἔστι τῆς Κασσωπῶν χώρας ἥμισυ ἡμέρας. Μικρῷ δὲ ἐλάττων ὁ Ἀνακτορικὸς κόλπος ἐστὶν ἀπὸ τοῦ στόματος ἕως εἰς τὸν μυχὸν σταδίων ρκ'. τὸ δὲ στόμα εὖρος στάδια δ'.

32. *ΜΟΛΟΤΤΟΙ.* Μετὰ δὲ Κασσωπίαν Μολοττία εἰσὶν ἔθνος. οἰκοῦσι δὲ οὗτοι κατὰ κώμας· καθήκουσι δὲ κατὰ μικρὸν ἐνταῦθα ἐπὶ τὴν θάλατταν, εἰς μεσο-

32. *Μολοττία* cod. Hervurt. uti *Κασσωπία* §. 31. Vulg. *Μολοττοί.*

tus ibi est, cui nomen Elaea. In hunc Acheron fluvius exoneratur, palusque Acherusia, unde Acheron amnis fluit. Praeternavigatio Thesprotiae est diei dimidiati. ‖ 31. Post Thesprotiam est gens *Cassopia.* Habitant etiam hi vicatim. Pertingunt vero usque ad interiorem Anactorii sinus partem. Praeternavigatio regionis Cassoporum est diei dimidiati. Sinus autem Anactorius ab ore usque ad intimum recessum paullo minor est stadiis 120. Os vero est stadiorum quatuor latitudine. ‖ 32. Post Cassopiam est *Molossorum* gens. Habitant etiam hi vicatim. Pertingunt ibi exiguo spatio usque ad mare: maxima autem ex parte mediterranei

γειαν δὲ πολλῇ. Παράπλους δ' ἐστὶ τῆς Μολοττίας χώρας στάδια μ'.

ΑΜΒΡΑΚΙΑ. Μετὰ δὲ Μολοττίαν Ἀμβρακία πόλις Ἑλληνίς· ἀπέχει δὲ αὕτη ἀπὸ θαλάττης στάδια π'. Ἔστι δὲ καὶ ἐπὶ θαλάττης τεῖχος, καὶ λιμὴν κάλλιστος. Ἐντεῦθεν ἄρχεται ἡ Ἑλλὰς συνεχὴς εἶναι μέχρι Πηνειοῦ ποταμοῦ, καὶ Ὁμολίου Μαγνητικῆς πόλεως, ἥ ἐστι παρὰ τὸν ποταμόν. Παράπλους δὲ τῆς Ἀμβρακίας στάδια ρκ'. 33.

ΑΚΑΡΝΑΝΙΑ. Μετὰ δὲ Ἀμβρακίαν Ἀκαρνανία ἔθνος ἐστί. καὶ πρώτη πόλις αὐτόθι Ἄργος τὸ Ἀμφιλοχικόν, καὶ Εὔριπος, καὶ Οὐριτὸν ἐν τῷ Ἰκονίῳ. καὶ ἔξω τοῦ Ἀνακτορικοῦ κόλπου αἵδε· Ἀνακτόριον, καὶ λιμὴν Ἀκτή, καὶ πόλις Λευκὰς καὶ λιμήν. αὕτη ἀνέχει ἐπὶ τὸν Λευκά- 34. Pag. 13. b.

34. αἵδε cod. Hervurt. Vulg. om.
b. Λευκάταν, ὅ ἐστιν em. Voss. Codd. Λευκαταιῶν ἐστιν.

sunt. Praeternavigatio Molossiae est stadiorum quadraginta. || 33. Post Molossiam est *Ambracia* Graeca civitas. Abest haec a mari stadiis octoginta. Habet vero ad mare munimentum et portum pulcherrimum. Hinc Graecia continua esse incipit, usque ad flumen Peneum et Homolium Magnesiae civitatem quae est ad flumen. Praeternavigatio Ambraciae est stadiorum 120. || 34. Ambraciam *Acarnaniae* gens sequitur: et prima huius civitas est Argos Amphilochicum, et Euripus, et Uritum in Iconio. Et extra sinum hae: Anactorium, et urbs Leucas cum portu. Haec surgit versus Leucatam, quod

ταν, ὅ ἐστιν ἀκρωτήριον πόῤῥωθεν τῇ θαλάττῃ. αὕτη ἡ πόλις τὸ πρὶν καὶ Ἐπιλευκάδιοι ὠνομάζετο. Ἀκαρνᾶνες δὲ στασιάσαντες ἔλαβον ἐκ Κορίνθου ἐποίκους χιλίους· οἱ δὲ ἔποικοι ἀποκτείναντες .... τούτων τὴν χώραν αὐτοὶ ἔχουσιν. αὕτη δ' ἐστὶ νῦν νῆσος τὸν ἰσθμὸν ἀποτετα-
c. φρευμένη. Μετὰ δὲ ταῦτα πόλις Φαρά· καὶ κατὰ ταῦτα νῆσός ἐστιν Ἰθάκη, καὶ λιμήν. μετὰ δὲ ταῦτα νῆσος Κεφαληνία. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπει-
d. ρον, ὅθεν ἀπέλιπον. Μετὰ ταῦτα πόλις Ἀλυττία, καὶ κατὰ ταύτην νῆσος Κάρνος· καὶ πόλις Ἀστακὸς, καὶ λιμὴν, καὶ ποταμὸς Ἀχελῷος, καὶ Οἰνιάδα πόλις· καὶ εἰς ταύτας τὰς πόλεις ἀνάπλους ἐστὶ κατὰ τὸν Ἀχελῷον. εἰσὶ δὲ καὶ ἄλλαι πόλεις Ἀκαρνάνων ἐν μεσο-

πόῤῥωθεν τῇ fors. πόῤῥωθεν ἐν τῇ. Gail. coni. πόῤῥω ἐν τῇ.
τούτων. — Codd τοῦτον. Edd. τούτους.
ἀποτεταφρουμένη Codd.

est promontorium e longinquo in mari (sese protendens). Haec civitas prius etiam Epileucadii appellabatur. Acarnanes autem seditione laborantes, mille a Corinthiis colonos accepere; qui coloni, iis occisis, eorum ipsi regionem tenent. Ea nunc insula est, isthmo perfosso. Deinceps est urbs Phara; his opposita Ithaca insula, in qua urbs cum portu: postea insula Cephalenia. Sed rursus ad continentem redeo, unde abieram. Sequitur inde urbs Alyttia, cui opposita Carnus insula; et urbs Astacus cum portu, et fluvius Achelous, et urbs Oeniada: ad has urbes pervenitur navigatione sursum per Acheloum.

γείᾳ. παράπλους δὲ Ἀκαρνανίας ἐστὶν ἡμερῶν δύο. Ἡ δὲ Ἀκαρνανία ἐστὶ πᾶσα εὐλίμενος· καὶ κατὰ ταῦτα νῆσοι παράκεινται πολλαὶ, ἃς ὁ Ἀχελῶος προσχωννύων ἤπειρον ποιεῖ. καλοῦνται δὲ Ἐχινάδες αἱ νῆ- Pag. 14
σοι· εἰσὶ δὲ ἔρημοι.

35. ΑΙΤΩΛΙΑ. Μετὰ δὲ Ἀκαρνανίαν Αἰτωλία ἐστὶν ἔθνος, καὶ πόλεις ἐν αὐτῇ εἰσὶν αἵδε· Καλυδὼν, Μύκαρνα, Μολυκρεία· καὶ ὁ Δελφικὸς κόλπος. στόμα δὲ τοῦ κόλπου τούτου ἐστὶ στάδια ι', καὶ ἐπ' αὐτοῦ ἱερὸν, καὶ Ναύπακτος πόλις· καὶ ἐπ' αὐτὴν πόλεις εἰσὶν ἄλλαι πολλαὶ Αἰτωλοῖς ἐν μεσογείᾳ. παράπλους δ' ἐστὶ τῆς Αἰτωλίας ἡμέρας μιᾶς. Ἡ δὲ Αἰτωλία παρήκει τὴν Λοκρίδα πᾶσαν ἀπὸ μεσογείας, μέχρι Αἰνιάνων.

36. ΛΟΚΡΟΙ. Μετὰ δὲ Αἰτωλοὺς Λοκροί εἰσιν ἔθνος

Sunt et aliae Acarnanum civitates mediterraneae. Praetervectio autem Acarnaniae est dierum duorum. Omnis vero Acarnania commodos habet portus: et multae ei insulae adiacent, quas Achelous, dum humum aggerit, continentem reddit. Vocantur hae insulae Echinades, et sunt desertae. || 35. Post Acarnaniam est *Aetolia* gens, et in ea urbes hae: Calydon, Mycarna, Molycria: et sinus Delphicus. Os huius sinus est stadiorum decem, et in illo fanum, et Naupactus urbs; et insuper multae aliae Aetolorum civitates sunt in mediterraneis partibus. Praetervectio autem Aetoliae est diei unius. Aetolia vero contermina est toti Locridi per mediterraneos locos usque ad Aenianes. || 36. Aetolos sequitur *Locrorum* gens, in

ἐν οἷς εἰσὶν Ὀζόλαι καλούμενοι, καὶ πόλεις αἵδε· Εὔανθις, Ἄμφισσα. εἰσὶ δὲ καὶ τούτοις πόλεις ἐν μεσογείᾳ. παράπλους δ' ἐστὶ τῆς χώρας Λοκρῶν τὸ ἥμισυ ἡμέρας.

37. ΦΩΚΕΙΣ. Μετὰ δὲ Λοκροὺς εἰσιν ἔθνος Φωκεῖς κατὰ τὸ Κιῤῥαῖον πεδίον· καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, καὶ Δελφοὶ πόλις, καὶ Ἀντίκυρα πόλις, οὗ βέλτιστα ἐλλεβορίζονται. παράπλους δ' ἐστὶ τῆς Φωκέων χώρας ἥμισυ ἡμέρας.

38. ΒΟΙΩΤΟΙ. Μετὰ δὲ Φωκεῖς Βοιωτοί εἰσιν ἔθνος,
Pag. 15. καὶ πόλεις αἵδε· Κορσιαὶ, Σίφαι, καὶ λιμὴν Εὔτρητος, καὶ τεῖχος τῶν Βοιωτῶν. παράπλους δὲ τῆς Βοιωτίας ἥμισυ ἡμέρας ἔλαττον.

37. *Κιῤῥαῖον* em. Palmer. Codd. *Κουραῖον*.
38. *Σίφαι* em. Voss. Codd. *σφάσις*.
Fortasse: *Σίφαι καὶ λίμην, Εὔτρητος, καὶ* cett. Gail.
τῶν Βοιωτῶν em. Salmas. Codd. *ὁ Βοηθῶν*.

quibus sunt qui dicuntur Ozolae, urbesque hae: Euanthis, Amphissa. Habent etiam hi urbes mediterraneas. Praetervectio vero Locrorum regionis est diei dimidiati. || 37. Post Locros est *Phocensium* gens per Cirrhaeum campum; et Apollinis fanum, civitas Delphi et civitas Anticyra, ubi optime purgantur helleboro. Praetervectio Phocensium regionis est dimidiati diei. || 38. Phocenses sequitur *Boeotorum* gens, urbesque hae: Corsiae, Siphae, et portus Eutretus, et munimentum (navale) Boeotorum. Praeternavigatio autem Boeotiae minor est, quam diei dimidiati. || 39. Boeotos sequitur *Mega-*

ΜΕΓΑΡΕΙΣ. Μετὰ δὲ Βοιωτοὺς Μεγαρεῖς εἰσὶν ἔθνος, καὶ πόλεις αἵδε· Αἰγοσθέναι, Πηγαὶ τεῖχος, Γεράνεια ὄρος. παράπλους δὲ τῆς Μεγαρέων χώρας στάδια ρ'. 39.

ΚΟΡΙΝΘΟΣ. Μετὰ δὲ Μεγαρεῖς ἡ Κόρινθος πόλις ἐστὶν, ἱερὸν Αἰγαῖον, ἰσθμός. 40.

ΠΕΛΟΠΟΝΝΗΣΟΣ. Ἐντεῦθεν ἤδη ἄρχεται ἡ Πελοπόννησος. Ἔστι δ' ἀπὸ θαλάσσης ἡ ὁδὸς πρὸς τὴν ἐπὶ ἡμῶν θάλασσαν διὰ τοῦ ἰσθμοῦ στάδια τετταράκοντα· ταῦτα κολπώδη πάντα. παράπλους δέ τῆς Κορινθίων χώρας ἥμισυ ἡμέρας. 41.

ΣΙΚΥΩΝ. Μετὰ δὲ Κόρινθον Σικυὼν πόλις. ταύτῃ παράπλους σταδίων ρκ'. 42.

39. *Αἰγοσθέναι.* Codd. *Αιγοσθέναι.* Salm. *Αἰγόσθενα.* *τεῖχος, Γεράνεια ὄρος* em. Gail. Codd. *τεῖχος Γεράνεια, Ἄρις.*
40. *Αἰγαῖον.* Codd. *αἴγνον.* Gail. *Λέχαιον.*
41. *πάντα* cod. Hervurt. Vulg. om.

